βασιλέως εἰς κατάβασιν καταβαινέτω πρὸς ἡμᾶς· κεκλείκασιν αὐτὸν
εἰς τὰς χεῖρας τοῦ βασιλέως. [21]καὶ εἶπεν αὐτοῖς Σαουλ Εὐλογημένοι 21
ὑμεῖς τῷ κυρίῳ, ὅτι ἐπονέσατε περὶ ἐμοῦ· [22]πορεύθητε δὴ καὶ 22
ἑτοιμάσατε ἔτι καὶ γνῶτε τὸν τόπον αὐτοῦ, οὗ ἔσται ὁ ποὺς αὐτοῦ,
ἐν τάχει ἐκεῖ οὗ εἴπατε, μήποτε πανουργεύσηται· [23]καὶ ἴδετε καὶ 23
γνῶτε, καὶ πορευσόμεθα μεθ' ὑμῶν, καὶ ἔσται εἰ ἔστιν ἐπὶ τῆς γῆς,
καὶ ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν Ιουδα. [24]καὶ ἀνέστησαν 24
οἱ Ζιφαῖοι καὶ ἐπορεύθησαν ἔμπροσθεν Σαουλ· καὶ Δαυιδ καὶ οἱ
ἄνδρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ Μααν καθ' ἑσπέραν ἐκ δεξιῶν τοῦ
Ιεσσαιμουν. [25]καὶ ἐπορεύθη Σαουλ καὶ οἱ ἄνδρες αὐτοῦ ζητεῖν 25
αὐτόν· καὶ ἀπήγγειλαν τῷ Δαυιδ, καὶ κατέβη εἰς τὴν πέτραν τὴν
ἐν τῇ ἐρήμῳ Μααν· καὶ ἤκουσεν Σαουλ καὶ κατεδίωξεν ὀπίσω
Δαυιδ εἰς τὴν ἔρημον Μααν. [26]καὶ πορεύονται Σαουλ καὶ οἱ 26
ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους τούτου, καὶ ἦν Δαυιδ καὶ οἱ
ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους τούτου· καὶ ἦν Δαυιδ σκεπα-
ζόμενος πορεύεσθαι ἀπὸ προσώπου Σαουλ, καὶ Σαουλ καὶ οἱ ἄνδρες
αὐτοῦ παρενέβαλον ἐπὶ Δαυιδ καὶ τοὺς ἄνδρας αὐτοῦ συλλαβεῖν
αὐτούς. [27]καὶ ἄγγελος πρὸς Σαουλ ἦλθεν λέγων Σπεῦδε καὶ δεῦρο, 27
ὅτι ἐπέθεντο οἱ ἀλλόφυλοι ἐπὶ τὴν γῆν. [28]καὶ ἀνέστρεψεν Σαουλ 28
μὴ καταδιώκειν ὀπίσω Δαυιδ καὶ ἐπορεύθη εἰς συνάντησιν τῶν
ἀλλοφύλων· διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος Πέτρα ἡ μερι-
σθεῖσα.

[1]Καὶ ἀνέβη Δαυιδ ἐκεῖθεν καὶ ἐκάθισεν ἐν τοῖς στενοῖς Εγγαδδι. 24
[2]καὶ ἐγενήθη ὡς ἀνέστρεψεν Σαουλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, 2
καὶ ἀπηγγέλη αὐτῷ λεγόντων ὅτι Δαυιδ ἐν τῇ ἐρήμῳ Εγγαδδι.
[3]καὶ ἔλαβεν μεθ' ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παν- 3
τὸς Ισραηλ καὶ ἐπορεύθη ζητεῖν τὸν Δαυιδ καὶ τοὺς ἄνδρας αὐτοῦ
ἐπὶ πρόσωπον Σαδαιεμ. [4]καὶ ἦλθεν εἰς τὰς ἀγέλας τῶν ποιμνίων 4
τὰς ἐπὶ τῆς ὁδοῦ, καὶ ἦν ἐκεῖ σπήλαιον, καὶ Σαουλ εἰσῆλθεν παρα-
σκευάσασθαι· καὶ Δαυιδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτερον τοῦ σπη-
λαίου ἐκάθηντο. [5]καὶ εἶπον οἱ ἄνδρες Δαυιδ πρὸς αὐτόν Ἰδοὺ ἡ 5
ἡμέρα αὕτη, ἣν εἶπεν κύριος πρὸς σὲ παραδοῦναι τὸν ἐχθρόν σου

20 κεκλεικ.] pr. και A† || 22 γνωτε] + και ιδετε *OL*† | αυτου $1^0$ > A† | ειπετε B† || 23 ιδετε και γνωτε] tr. *O*†: cf. 22; + εκ παντων των τοπων οπου (+ αυτος *L*†) κρυβεται(sic A†, κρυπτεται $O^{247}L$†, κεκρυπται $O^{376}$†) εκει και επιστρεψατε προς με εις ετοιμον *OL* || 24 οι ζιφαιοι / και επορ.] tr. *O*† | μααν hic et in 25 bis] μαων *O*; επηκοω *L*† hic, τη επηκοω uel την επηκοον *L*† in 25; cf. 25 1 || 25 απηγγελη *OL* || 26 μερους bis] μεσου A ($2^0$ A†) | τουτου $1^0$ (non $2^0$)] pr. εκ A | ην $2^0$] εγενετο *O*† || 27 προς σαουλ / ηλθεν] tr. *OL* | οι > A

24 1 ανεβη *L*†] -εστη B*O* | και εκαθ. > A† || 2 λεγων A† || 3 σα(δ)δαιεμ pau.] εδδαιεμ B†, αει(α)μειν A†, αβιαλειμ $O^{-A}$†, της θηρας των ελαφων $LB^{mg}$ || 4 σαουλ εισηλθεν] tr. *OL*† || 5 η > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/601 UNIVERSITÄT LEIPZIG